**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 6 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=3

V. 112-129

ΧΑΙ. ἐς κόρακας. (ΠΥ.) ἐν ὅσῳ δ᾿ «ἀλλά σ᾿ ὁ Ποσειδῶν—» λέγων

κατέμυσα, χάρακα λαμβάνει πάλιν τινά·

ταύτῃ μ᾿ ἐκάθαιρε, «σοὶ δὲ κἀμοὶ πρᾶγμα τί

ἐστιν;» λέγων, «τὴν δημοσίαν οὐκ οἶσθ᾿ ὁδόν;»

ὀξύτατον ἀναβοῶν τι. ΧΑΙ. μαινόμενον λέγεις

τελέως γεωργόν. (ΠΥ.) τὸ δὲ πέρας· φεύγοντα γὰρ

δεδίωχ᾿ ἴσως με στάδια πέντε καὶ δέκα,

περὶ τὸν λόφον πρώτιστον, εἶθ᾿ οὕτω κάτω

εἰς τὸ δασὺ τοῦτο, σφενδονῶν βώλοις, λίθοις,

ταῖς ἀχράσιν ὡς οὐκ εἶχεν οὐδὲν ἄλλ᾿ ἔτι.

‹ΧΑΙ.› ἀνήμερόν τι πρᾶγμα τελέως, ἀνόσιος

γέρων. ‹ΠΥ.› ἱκετεύω σ᾿, ἄπιτε. (ΣΩ.) δειλίαν λέγεις.

(ΠΥ.) οὐκ ἴστε τὸ κακὸν οἷόν ἐστι. κατέδεται

ἡμᾶς. ΧΑΙ. τυχὸν ἴσως ‹ὅδ᾿› ὀδυνώμενός τι νῦν

τετύχηκε· διόπερ ἀναβαλέσθαι μοι δοκεῖ

αὐτῷ προσελθεῖν, Σώστρατ᾿· εὖ τοῦτ᾿ ἴσθ᾿ ὅτι

πρὸς πάντα πράγματ᾿ ἐστὶ πρακτικώτερον

εὐκαιρία. ΠΥ. νοῦν ἔχετε. (ΧΑΙ.) ὑπέρπικρον δέ τι (...)